ταῦτα τῆ ἐμῆ χειρὶ Λέοντος καὶ λαοσυνάκτου τοῦ Ζαχαρία, ἐξ ἐπιτροπῆς τοῦ τι-|[28] μιωτ(ά)τ(ου) σακελλαρίου κ(ὺρ) Γεωργίου τοῦ Μουρμουρᾶ, τοῦ ὕφους δὲ ἑρμηνευθ(έντος) παρὰ|[29] τοῦ πριμμικηρίου τῶν ταβουλλαρίων κ(ὺρ) Θεοδώρου τοῦ Καλλιγοπ(ού)λ(ου)· τῶ μηνὶ Μαΐω, (ἰνδικτιῶνος) ια´,|[30] τοῦ ,ςω[ου] κα[ου]´ ἔτους †

|[31] † Ὁ λαοσυνάπτης (καὶ) ταβουλλάριος τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρῶν Λέων ὁ Ζαχαρί(ας) †

---

42. p. 42-43[87]

Ἔγγραφος πρᾶσις(l. 3-4) **mars, Ind.11, a.m.6821(=1313)**

Contrat de vente entre Théodore Berroiôtès et sa famille, d'une part, et Georges Comnènos Patrikios, de l'autre, concernant leur terrain patrimonial en friche d'une superficie de 3 stremmata, situé dans la région de Libobistos et près de Sainte-Paraskeuè, pour la somme de 12 ducats.

[†] Ἕτερον τοῦ αὐτοῦ [†][88]

Σίγ(νον) τοῦ Βε-	Θε(ο)δ(ώ)ρ(ου) ρροιώτ(ου)	Σίγ(νον) τῆς ὁμο-	Εἰρήν(ης) ζύγου αὐτ(οῦ)	
Σίγ(νον) τ(ῆς) νύμφ(ης)	Μαρί(ας) αὐτῶν †			2

† Ἐν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πν(εύματο)ς, οἱ ἐνταῦθα ἄνωθ(εν) ὡς ὁρᾶται οἰ-|[3] κεία χειρὶ συγγογραφήσαντες ἐπὶ τὴν παροῦσαν ἔγγραφον (καὶ) ἐνυπόγραφον ἰσχυράν|[4] βεβαίαν (καὶ) παντοίαν ἀραδιούργητον πρᾶσιν, τὴν οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας|[5] ἢ δόλου ἢ

87 A la partie supérieure, ainsi qu'à la partie inférieure de la page 43, dans la marge droite, il y a des coupures latérales ; des taches d'humidité ont effacé quelques mots à la partie inférieure de la page.

88 Cf. no 41 et note.

ἀπάτης ἢ ῥαδιουργίας τινὸς καὶ προφάσεως, ἀλλὰ σὺν προθυμίᾳ ἡμῶν|[6] πάσῃ, ὁλοψύχῳ βουλῇ (καὶ) θελήσει, πεπράκαμ(εν) μετὰ καθολικοῦ (καὶ) νομίμου δεφενσί-|[7] ωνος τὸ προσὸν ἡμῖν ἐκ γονικόθ(εν) χερσοτόπιον ὡσεὶ στρέμματα γ´· τὸ ὂν|[8] ἐν τῇ περιοχῇ τοῦ Λιβοβιστοῦ πλη(σίον) τῆς θέσεως τῆς Ἁγίας Παρασκευῆς καὶ ἀπὸ|[9] μ(ὲν) τὸ αὐλοτόπιον μέρος πλη(σίον) Στεφάνου παροίκου Κομνηνοῦ τοῦ Λάσκαρη, ἀπὸ δὲ|[10] τὸ δυτικ(ὸν) μέρος πλη(σίον) τοῦ Ἀμασιανοῦ καὶ τοῦ Κοντοβράκη. Πεπράκαμ(εν) δὲ|[11] τοῦτο πρὸς σὲ τ(ὸν) πανευγενέστατον Κομνην[ὸν] κ(ὺρ) Γε(ώρ)γ(ιον) τ(ὸν) Πατρίκιον καὶ πλησιαστὴν|[12] εἰς δουκ(ᾶ)τ(α) δώδεκα, ἅπερ (καὶ) ἀνελαβόμεθα ἐκ χειρὸς τοῦ ταβουλλαρίου ε̣ἰ̣ς̣ τ̣ὰ̣ς̣|[13] χεῖρας ἡμῶν, ἐνώπιον τοῦ εὐλαβεστάτου ἱερέως κ(ὺρ) Ζαχαρίου τοῦ Θεοδούλου, κ(ὺρ)|[14] Θεοδώρου τοῦ Καλούδη καὶ ἑτέρων. Καὶ ὀφείλεις ἀπὸ τὴν σήμερον παραλαβ(εῖν)|[15] τὸ τοιοῦτον ἐλεύθερον, μὴ κωλυόμ(εν)ος ὑπ᾿ οὐδενὸ(ς) τῶν ἁπάντων καὶ ποιεῖν ἐπ᾿ αὐτὸ|[16] ὅσα οἱ θεῖοι νόμοι διακελεύονται τοὺς τῶν πραγμάτων δεσπότ(ας), ἡμῶν ἐκ τούτου|[17] ἀποβαλλομένων προσώπων (καὶ) πρὸς σὲ (καὶ) τὸ μέρος σου ἀνεθέμεθα· τ(ὸν) ὑπὲρ τούτου|[18] δὲ μᾶλλον ὀφείλομ(εν) ποιεῖν δεφενσίωνα τ(ὸν) κατὰ νόμους καὶ τ(ὸν) βουλόμενον ὑπὲρ τούτου|[19] διενοχλεῖν, ἀποσοβ(εῖν) καὶ τὸ μέρος σου πάσης ὀχλήσεως διατηρῶμ(εν) ἀνέπαφον. Εἰ (δὲ)|[20] μὴ οὕτω ποιῶμ(εν), ἀλλ᾿ εἰς παλιμβολίας καὶ προφάσεις χωρήσωμ(εν), στοιχῶμ(εν) τοῦ|[21] μὴ εἰσακούεσθαι ἡμᾶς κἂν τὰς ἀπὸ νόμους βοηθεί(ας) ἀνακαλούμεθα ἐφ᾿ οἷς ἂν|[22] ἔχομ(εν) λέγειν, ἀλλὰ σὺν τῷ ἐκδιώκεσθαι ἡμᾶς ἀπὸ παντὸς δικαστηρίου ἀπράκτους|[23] καὶ προστίμου δόσιν παρέξομ(εν) σοι ἐκ παραβασίας (νομίσματ)α ς´ καὶ πρὸς τὸ δημόσιον τὸ|[24] διαφέρον. Ἐγράφη ταῦτα τῇ ἐμῇ χειρὶ Λέοντος (καὶ) λαοσυνάπτου τοῦ Ζαχαρίου, ἐξ ἐ-|[25] πιτροπ(ῆς) τοῦ τιμιωτ(ά)τ(ου) σακελλαρίου κ(ὺρ) Γεωργίου τοῦ Μουρμουρᾶ, τοῦ ὕφους ἑρμηνευθ(έν)τ(ος)|[26] παρὰ τοῦ πριμμικηρίου τῶν ταβουλλαρίων κ(ὺρ) Θε(ο)δ(ώ)ρ(ου) τοῦ Καλλιγοπούλ(ου) † τῷ μηνὶ Μ̣α̣ρ̣τ̣ίῳ,|[27] (ἰνδικτιῶνος) ια´, τοῦ ,ςω[ου]κα[ου]´ ἔτους † Ζαχαρί(ας) ἱερεὺς καὶ κληρικὸ(ς) Σερρῶν †

|[28] † Ὁ λαοσυνάκτης (καὶ) ταβουλλάρ(ιος) τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρ(ῶν) Λέ(ων) ὁ Ζαχαρί(ας) †

---

43. p. 43-44
Ἔγγραφος ἀνταλλαγωγή (l. 4-5), γράμμα (l. 20) **octobre, ind.3, a.m.6843(=1334)**

Contrat d'échange entre Georges Comnènos Laskarès et Georges Phôkopoulos de deux terrains du premier avec un terrain du deuxième, situés dans la région de Serrès.[89]

† Ἕτ(ε)ρ(ον) τοῦ αὐτ(οῦ) †

† Ὁ δοῦλος τοῦ κραταιοῦ (καὶ) ἁγίου ἡμῶν αὐθ(έν)τ(ου) (καὶ) βασιλ(έως) Γε(ώ)ργ(ιος) Κομνηνὸ(ς) ὁ Λάσκαρης οἰκείᾳ χειρὶ προέ-|[2] ταξα †

|[3] † Ἐν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πν(εύματο)ς, ἐγὼ ὁ δοῦλος τοῦ κραταιοῦ (καὶ) ἁγίου ἡμ(ῶν)|[4] αὐθ(έν)τ(ου) (καὶ) βασιλ(έως) ὁ ἐνταῦθα ὡς ὁρᾶται οἰκειοχείρως προτάξας ἐπὶ τὴν παροῦσαν ἔγγραφον|[5] καὶ ἐνυπόγραφον τῆς εἰλικρινοῦς (καὶ) ἀδιαβλήτου ἡμῶν ἀνταλλαγωγῆς, τῆς οὐκ ἔκ τινος|[6] ἀνάγκης ἢ βίας, ἀλλὰ σὺν προθυμίᾳ ἡμῶν πάσῃ, ὁλοψύχῳ τε βουλῇ (καὶ) θελήσει,|[7] ἐπιδίδωμι πρὸς σὲ τ(ὸν) οἰκεῖον τῷ κραταιῷ (καὶ) ἁγ(ίῳ) ἡμῶν αὐθ(έν)τ(ῃ) (καὶ) βασιλεῖ κ(ὺρ) Γε(ώ)ργ(ιον) τ(ὸν)|[8] Φωκόπ(ου)λ(ον) (καὶ) διὰ σοῦ πρὸ(ς) ἅπαν τὸ μέρος σου τὰ προσόντα ἡμῖν χωράφια· τὸ μ(ὲν) ἓν|[9] πλη(σίον) τῆς περιοχ(ῆς) τῆς Ἑξαμυλίας τ(ῆς) ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρ(ῶν) καὶ πλη(σίον) σου, ὡσεὶ στρέ-|[10] μματα ποσούμενον β´· τὸ δὲ ἕτ(ε)ρ(ον) πλη(σίον) ἐμοῦ καὶ σοῦ, ὅπερ ἔχω ἐξ ἀγορᾶς ἀπὸ τῆς|[11] Καλλιγοῦς, ὡσεὶ στρέμμα ἕν· ὑπὲρ ὧν δέδωκάς συ πρὸς ἡμᾶς τὸ ἀνάμεσον|[12] τῶν χωραφίων μου χωράφιον,

89. Sur le dossier de Phôkopoulos, cf. les nos 40, 44, 45, 46, 47, 48, 49 et 165 de notre édition.

ὅπερ εἶχες ἐξ ἀγορᾶς ἀπὸ Δημητρ(ίου) τοῦ Δικέλλη,|13 ὡσεὶ στρέμματα
ποσούμενον β΄(ἥμισυ). Καὶ ὀφείλεις ἀπὸ τῆς σήμερον παραλαβεῖν τὰ|14
εἰρημένα χωράφια καὶ δεσπόζειν ἀναφαιρέτως εἰς τοὺς ἑξῆς ἅπαντας χρό-
|15 νους καὶ ποιεῖν ἐπ᾿ αὐτοῖς τὰ δόξαντ[α...±5...]ọụ[.]οῦ ἀπὸ τοῦ [..] μετα-
μελέσθαι|16 ὅλως μὴ ἰσχυόντων ἐπὶ τῇ παρούσῃ καθαρὰ καὶ ἀπεριέργω
ἀνταλλαγωγῇ, ἀλλ᾿ ὀ-|17 [φειλ]ọ́ντων μᾶλλον διόλου στέργειν καὶ δεφεν-
δεύειν καθολικῶς σοὶ καὶ τῷ μέρει σου|18 νομίμως ποιεῖν. Εἰ δ᾿ ἴσως ποτὲ
πρὸς ἀνατροπὴν ταύτης χωρήσωμ(εν), στοιχῶ-|19 μ(εν) τοῦ μὴ εἰσακού-
εσθαι ἐφ᾿ οἷς ἂν ἔχω λέγειν, ἀλλ᾿ ἐκδιώκεσθαί με ἀπὸ παντὸς|20 δικαστη-
ρίου ἄπρακτον. Ἐπὶ τούτῳ γὰρ (καὶ) τὸ παρ(ὸν) γράμμα γεγονὸς ἐπεδόθη
σοι δι᾿ ἀ-|21 σφάλειαν μηνὶ Ὀκτωβρίω, (ἰνδικτιῶνος) γ^ης΄, τοῦ ,ςω^ου μγ^ου΄
ἔτους †
|22 † Ὁ λογοθέτης τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σέργιος ὁ Συνα-
δηνό(ς) †

---

44. p. 44
Γράμμα(l. 5) **5 novembre, ind.15 (XIVe siècle)**

Acte de donation de Manuel Sourouggérès à Georges Phôkopoulos concernant un terrain d'une superficie de 2 stremmata, situé dans la région de Serrès près de Sainte-Paraskeuè.[90]

† Τοῦ αὐτ(οῦ) Φωκοπ(ού)λ(ου) †

† Κἀγὼ Μανουὴλ διάκονος ὁ Σουρούγγερης ὑποχαρίζομαι πρὸ(ς) τ(ὸν)
ἐντιμότ(α)τ(ον) κυρὸν (καὶ) αὐθ(έν)τ(ην) μου|2 τ(ὸν) Φωκόπ(ου)λ(ον) τὸ
χωραφοτόπιον τὸ ἔχῳ ἐκ προικὸς ἡμῶν ἐν τῇ τοποθεσίᾳ τῆς Ἁγί(ας)|3

90. La succession des faits dans le dossier de Phôkopoulos nous conduit à proposer la date de 1331, cf. les nos 40, 43, 45, 46, 47, 48, 49 et 165 de notre édition.

Παρασκευῆς, ὡσεὶ στρέμματα β΄(καὶ) σπορέαν, τὸ καὶ πλη(σίον) Κομνη-
νοῦ τοῦ Λάσκαρη· καὶ|4 μὴ ἐπ᾿ ἄδειαν τὸ τυχ(ὸν) ἐμποδίσαι ἢ ἐνοχλῆσαι
αὐτ(ὸν) ὁ πενθερός μου ἢ ἄλλος|5 κανείς· καὶ ἐπεδόθη πρὸς αὐτ(ὸν) τὸ
ἡμέτερον γράμμα, μηνὶ Νοεμβρίω εἰς τὰς ε΄, (ἰνδικτιῶνος) ιε΄|6 † Ὁ ἱερεὺς
Ἰω(άννης) ὁ Κεφαλ(ᾶς) διὰ τὸ βέβαιον ὑπ(έ)γ(ραψα) †

---

45. p. 44
Notice [91]**(XIVe siècle)**

Notice concernant la délimitation des terres appartenant à Phôkopoulos (?) et avoisinant les propriétés d'Asanès, d'Alexis Paléologue, de Néagos et de feu Karabas.[92]

† Τοῦ αὐτ(οῦ) Φωκοπ(ού)λ(ου) [†]

† Γῆ εἰς τὴν τούμβαν εἰς τὴν τοποθεσίαν τὴν λεγομ(έν)ην Δανιὴλ πλη(σίον)
τῆς δημοσιακ(ῆς) ὁδοῦ|2 τῆς ἀπαγούσης εἰς τὰς Σέρρας, ἥτις διερεῖ τὰ
δίκαια τῆς δοθείσης τῷ περιποθήτω θείω|3 τοῦ κραταιοῦ (καὶ) ἁγίου ἡμῶν
αὐθ(έν)τ(ου) (καὶ) βασιλ(έως) τοῦ Ἀσάνη, τῆς ἑτ(έ)ρ(ας) γῆς τῆς
διαιρούσης τὰ δίκαια τῆς γῆς τοῦ|4 Παλαιολόγου κ(ὺρ) Ἀλεξίου καὶ τῆς
ἑτέρας μικρᾶς ὁδοῦ, τῆς διαιρούσης τὰ δίκαια τῆς γῆς,|5 ἥτις κατέχηται
παρὰ τοῦ Νεάγου, μοδ(ίων) σο΄· ἑτ(έ)ρ(α) γῆ εἰς τ(ὸν) αὐτ(ὸν) ἥτις
κρατεῖται παρὰ τοῦ Καραβᾶ|6 ἐκείνου πλη(σίον) τῆς ὁδοῦ τῆς διαιρούσης
τὰ δίκαια τῆς γῆς, ἧς προκατεῖχ(εν) ὁ Νεάγκος ἐκεῖνος,|7 μοδ(ίων) ρλ΄·
(ὁμοῦ) γῆ υ΄ †

91. Cette notice est rédigée soit avant 1328, soit après 1333, car la terre d'Alexis Paléologue ici mentionnée (l. 3-4), a été donnée au moine Jacques en 1328 (cf. le chrysobulle no 154) et restituée à Paléologue en 1333 (cf. le chrysobulle no 204).

92. Phôkopoulos n'est mentionné qu'au titre de cette notice ; sur son dossier cf. les nos 40, 43, 45, 46, 47 48, 49 et 165 de notre édition.

[illegible] (XIVe siècle)

[illegible]

[illegible] de Phókopoulos, d'une superficie de 250 modioi, [illegible]

[illegible] τῆς ἀπὸ τῆς Βάλτης [†]

[illegible]

[illegible] mars, ind.12, a.m.6852(=1344)

[illegible] Amoirisa, ses fils et sa soeur adressée à Georges [illegible] en vertu de laquelle ils cèdent à Phókopoulos le droit de [illegible] d'eau dans leur verger et s'engagent à ne pas [illegible] quant à la construction d'un moulin près de son ancien moulin; [illegible] Phókopoulos s'engage à nettoyer l'ancienne conduite d'eau, [illegible]

[illegible] τοῦ αὐτοῦ Φωκοπ(ού)λ(ου) [illegible]

[illegible footnotes]

[illegible] | Ἐκαταρίν[illegible]
[illegible] | τῆς [illegible]

† Ἐγὼ Ἐκατερίνα μοναχὴ ἡ Ἀμοίρισα μετὰ τοῦ υἱοῦ μου τοῦ [illegible] (καὶ)|2 μετὰ θελήσεως καὶ εἰδήσεως τῆς [illegible] μου [illegible] τῆς δομεστίκισσ(ας)|3 καὶ τοῦ υἱοῦ μου κ(ὺρ) [illegible] τοῦ Ἀδριανοῦ, συνε-βιβάσθην μετὰ τοῦ κ(ὺρ)|4 αὐθ(έν)τ(ου) (καὶ) [illegible] μου τοῦ Φωκο-πούλου καὶ δεδώκαμ(εν) αὐτῷ ἄδειαν, ἵνα [illegible] τὸ |5 [illegible] ὕδωρ τοῦ ξηροποτάμου ἐντὸς τοῦ περιβολίου μου καὶ [illegible]|6 πλη(σίον) τῆς μικροτέρας πέτρας ἀπὸ τὸ ἐκτὸς αὐτοῦ μέρος καὶ [illegible] ὑδρομύλωνα,|7 μὴ καταβλαπτομένου τοῦ [illegible] τοῦ μύλωνός μου, ἀλλ' οὐδὲ τὸ ἀρτιγενὲς|8 ἀγώγιν νὰ εἰσάξῃ ἐντὸς τοῦ [illegible] ἀγωγοῦ μέχρι (καὶ) τοῦ κεφαλογούρνου (καὶ) ὁπόταν|9 δεχθῇ [illegible] τὸν δεδηλωμένον παλαιὸν ἀγωγὸν κατὰ τὴν παλαιὰν καὶ προ-|10 [illegible] αὐτοῦ συνήθειαν, οὕτω καθαριζέσθω. Τούτων οὕτως ἐχόντων καὶ φυλαττο-|11 μένων, οὐ μὴ ἕξω ἄδειαν ἢ ἐγὼ αὐτὴ ἢ ὁ υἱός μου ὁ Εὐδόκιμος ἢ τις τῶν συγγε-|12 νῶν μου καὶ διαδόχων καὶ κληρονόμων μου [illegible] ἢ παρεμποδίσαι τῷ δηλω-|13 θέντι κ(ὺρ) τῷ Φωκοπ(ού)λ(ῳ) ἐπὶ τὸ [illegible] (καὶ) ἀποκαταστῆσαι μύλωνα πλη(σίον) (καὶ) σύνεγγυς τοῦ|14 μύλωνος αὐτοῦ. Ἐπεὶ εἰ εἰς ὑστεροβουλίας ἢ προφάσεις τινὰς χωρηθῶμ(εν), μὴ εἰσα-κού-|15 εσθαι ἡμᾶς ἐφ' οἷς ἂν ἔχωμ(εν) λέγειν, ἀλλ' ἐκδιώκεσθαι ἀπὸ παντὸς δικαστηρίου ἀπρά-|16 κτους, τὰς ἀρὰς ἐπισπώμενοι τῶν ἁγίων θεοφόρων π(ατέ)ρων. Ἀσφαλείας δὲ (καὶ) βεβαιώ-|17 σεως χάριν τὸ παρ(ὸν) συμβιβα-στικ(ὸν) ἡμῶν γεγονὸς γράμμα ἐπεδόθη σοι κ(ὺρ) τῷ Φω-|18 κοπούλῳ, μηνὶ Μαρτίῳ (ἰνδικτιῶνος) [illegible]

---

48. p. 45 **[97] avril, ind.14 (XIVe siècle)**

Πρόσταγμα(l. 15)[96]

Acte de l'empereur Stéfan Dušan ratifiant un acte judiciaire délivré à Georges Phôkopoulos par Michel Abrampakès, gouverneur de la ville de Serrès et par les archontes impériaux et les archontes ecclésiastiques de la ville ; cet acte accorde à Phokopoulos le droit de construire près de son moulin un deuxième moulin et lui assure la paisible jouissance de cette nouvelle construction envers la partie adverse, les enfants de feu Diplobatatzès.

† Πρόσταγμα διὰ τ(ὸν) μύλωνα τοῦ αὐτοῦ Φωκοπ(ού)λ(ου) τοῦ βασιλ(έως) κ(ὺρ) Στεφάνου †

† Ἐπεὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου κ(ὺρ) Γεώργ(ιος) ὁ Φωκόπ(ου)λ(ος) ἐδικαιώθη διὰ γράμματος τοῦ|2 οἰκείου αὐτῇ κεφαλ(ῆς) τῆς θεοσώστου πόλ(εως) Σερρῶν κ(ὺρ) Μιχ(αὴλ) τοῦ Ἀβραμπάκη (καὶ) λοιπῶν|3 ἀρχόντων τῆς βασιλείας μου (καὶ) τῶν ἐντιμοτάτων ἐκκλησιαστικῶν ἀρχόντων,|4 ὥστε ποιῆσαι σύνεγγυς τοῦ μύλωνος αὐτοῦ καὶ ἕτερον ὑδρομύλωνα καὶ ἐδεήθη ἐπὶ τῷ|5 τοιούτῳ δικαιωτηρίῳ γράμματι (καὶ) προστάγματος τῆς βασιλείας μου εἰς ἀνενοχλησί-|6 αν αὐτοῦ, ἡ βασιλεία μου εὔλογον καὶ δικαίαν τὴν τοπικὴν ἐξέτασιν καὶ διάγνωσιν|7 κρίνασα, ἐπεὶ δὲ καὶ δι' ἐπιστασίας ἀσφαλοῦς ἐγένητο καὶ ἠκριβωμένης, ἔχει θέλημα (καὶ)|8 διορί-ζεται ἵνα κατὰ τὴν περίληψιν τοῦ γεγονότος αὐτῷ δὴ τῷ Φωκοπ(ού)λ(ῳ) γράμματος παρά τε|9 τῆς κεφαλῆς καὶ τῶν λοιπῶν ἀρχόντων ὡς εἴρηται, ἔχῃ πᾶσαν ἄδειαν ὅσον ἐδικαιώθη|10 καὶ ποιήσει (καὶ) εἰς τὸ ὀσπήτιον τοῦ μύλωνος αὐτοῦ καὶ ἕτ(ε)ρ(ον) ἐργαστήριον καὶ νέμηται τοῦτο ἀκω-|11 λύτως καὶ ἀνεμποδίστως καὶ οὐδὲ τὸ ἀντίθετον τούτου μέρος, ἤγουν οἱ παῖδες|12 τοῦ Διπλοβατάτζη ἐκείνου, διενοχλήσουσιν ἀπὸ τοῦ νῦν χάριν

96. Sur le dossier de Phôkopoulos cf. les nos 40, 43, 44, 45, 46, 47, 49 et 165.

97. Cf. A Guillou, no 42, p.135, la date proposée est 1346 ; quant au défunt Diplobatatzès mentionné (l. 12), il s'agit d'Alexis Dilpobatatzès, le κριτὴς τοῦ φοσσάτου et, postérieurement, le grand hétaireiarque, cf. A. Guillou, no 2, remarques p. 41

τῆς τοιαύτης ὑπο-|13 θέσεως, ἀλλὰ μένωσιν εἰρηνεύοντες καὶ στέργοντες ὅσον ἡ τοπικὴ ἐπιστασία|14 καὶ διάγνωσις ἀπεφήνατο δίκαιον. Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο|15 καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα † Εἶχε (καὶ) ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτ(ων)|16 τῆς βασιλι-κ(ῆς) χειρὸς τό, μηνὶ Ἀπριλλίῳ, (ἰνδικτιῶνος) ιδ' † (α')[98]

---

49. p. 45-46 **[100] mai, ind.5, a.m.6860(=1352)**

Χρυσόβουλλος λόγος(l. 8, 15, 22)[99]

Acte de l'empereur Stéfan Dušan confirmant à Georges Phôkopoulos la possession de ses biens fonciers dans la ville de Serrès et ses alentours ; par ce même acte, il lui accorde le droit de transmettre ces biens, sa vie durant ou après sa mort, à un monastère de son choix, le bénéficiaire pouvant jouir de ces mêmes droits.

† Χρυσόβουλλ(ον) τοῦ βασιλ(έως) κ(ὺρ) Στεφάν(ου) περιεκτικὸν εἰς τὰ πράγματα τοῦ Φωκοπ(ού)λ(ου) †

† Ἐπεὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου κ(ὺρ) Γεώργιος ὁ Φωκόπ(ου)λ(ος) ἐζήτησε καὶ παρεκάλεσεν ὅπως|2 διορίσηται ἡ βασιλ(εία) μου καὶ κατέχῃ διὰ χρυσοβούλλ(ου) αὐτῆς ἀνενοχλήτως (καὶ) ἀνυστε-|3 ρήτως τὰ ἐξ ἀγορᾶς καὶ οἰκείων κόπων καὶ ἀναλωμάτων προσόντα τούτῳ|4 οἰκήματα ἐντὸς τῆς θεοσώστου πόλ(εως) Σερρῶν καὶ τοὺς ἐκτὸς ὑδρομύλωνας καὶ τὸ ἀμπ(έ)λ(ιον)|5 ἔτι τε τὸ εἰς τὴν Λέστιανην ζευγηλατεῖον, ὅσον ἐστίν, ἀλλὰ δὴ καὶ εἰς τὴν Τούμβαν|6 γῆν τῶν τριακοσίων μοδίων, καὶ ἔχει ἐπ' ἀδείας προσηλῶσαι ταῦτα καὶ|7 εἰς μοναστήριον ἔνθα ἄρα θελήσει καὶ βουληθῇ· τὴν παράκλησιν αὐτοῦ εὐμε-|8 νῶς προσδεξαμένη ἡ βασιλεία μου, τ(ὸν) παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἐπι-|9 χορηγεῖ καὶ ἐπιβραβεύει τούτῳ,

98. A la fin de la page est noté d'une main moderne: † α) γραυτέον ἰνδ.δ' ἀντὶ ιδ'.

99. Sur le dossier de Phôkopoulos, cf. les nos 40, 43, 44, 45, 46, 47, 48 et 165.

100. Cf. A Guillou, no 44, p.138.

δι᾽ οὗ προστάσσει (καὶ) διορίζεται ὡς ἂν κατέχῃ|[10] ὁ ῥηθεὶς Φωκόπ(ου)λ(ος)
τὰ κατὰ μέρος γεγραμμένα κτήματα καὶ οἰκήματα ἀνενόχλη-|[11] τα (καὶ)
ἀνυστέρητα, ἔτι τε ἀναφαιρέτως καὶ ἐκτὸς πάσης καὶ παντοίας περιφρο-|[12]
νήσεως καὶ ἀδικίας καὶ οὐδὲν ἕξει ἄδειαν οὐδεὶς τῶν ἁπάντων ἀρχόντων
καὶ|[13] ἀρχοντοπούλων τῆς βασιλείας μου ἢ ἐν τοῖς οἰκήμασιν αὐτοῦ
εἰσελθεῖν ἢ πλεονεκτικ(ὴν)|[14] καὶ ἄδικον χεῖρα ἐπὶ τοῖς κτήμασιν κινῆσαι
αὐτοῦ, ἀλλὰ τῇ ἰσχύϊ καὶ δυνάμει|[15] τοῦ παρόντος χρυσοβούλλου λόγου
τῆς βασιλείας μου καθέξει οὗτος καὶ εἰς τὸ ἑξῆς τά|[16] τε οἰκήματα αὐτοῦ
καὶ τὰ ῥηθέντα ἅπαντα κτήματα χωρὶς πάσης ἀδικίας καὶ|[17] περιφρονή-
σεως καὶ ἐπιθέσεως ὡς καὶ μέχρι τοῦ νῦν κατέχει (καὶ) δεσπόζει ταῦτα·|[18]
καὶ εἰς οἷον μοναστήριον βουληθῇ προσεῖναι ταῦτα, ἢ (καὶ) τῷ βίῳ περιὼν
ἔτι, ἢ καὶ|[19] μετὰ θάνατον αὐτοῦ, ἵνα κατέχονται (καὶ) παρὰ τῆς μελλού-
σης προστεθῆναι σεβασμί(ας)|[20] μονῆς παρ᾽ αὐτοῦ κατὰ τ(ὸν) ἴσον (καὶ)
ὅμοιον τρόπον, ὃν κατεῖχε καὶ ἐδέσποζε ταῦτα|[21] ὁ ῥηθεὶς Φωκόπ(ου)λ(ος).
Ἀσφαλείας γὰρ ἕνεκα καὶ τῆς εἰς τὸ ἑξῆς ἀνενοχλησίας|[22] ἐγένετο (καὶ)
ἀπελύθη καὶ ὁ παρὼν χρυσόβουλλ(ος) λόγος τῆς βασιλείας μου κατὰ
μῆνα|[23] Μάϊον τῆς ἐνισταμένης ε^ης^΄ (ἰνδικτιῶνος) τοῦ ,ϛω^ου^λϛ^ου^΄ ἔτους, ἐν
ᾧ (καὶ) τὸ ἡμέτερον εὐσεβὲς (καὶ)|[24] θεοπρόβλητον ὑπεσημήνατο κράτος †
Εἶχε (καὶ) ὑπογραφὴν δι᾽ ἐρυθρῶν γρα-|[25] μμάτων τῆς βασιλικ(ῆς) (καὶ)
θεί(ας) χειρὸ(ς) τό, Στέφανος ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ πιστὸς βασιλεὺς (καὶ)
αὐτο-|[26] κράτωρ Σερβίας καὶ Ῥωμανίας †

---

50. p. 46-47[101]
Πρατήριον ἔγγραφον(I. 30, 36) **mai, ind.11, a.m.6836(=1328)**

Contrat de vente entre Lypènarès et ses enfants, d'une part, et la nonne Mariamnè (ayant-droit) de Blakos de l'autre, concernant leur vigne d'une

101. A la page 47, il y a quelques taches d'humidité, ainsi que des coupures latérales aux deux bouts exterieurs de la page.

superficie d'un stremma, située au lieu-dit Kontarion, pour la somme de 18 nomismata.[102]

† Προσένεξις τῆς μον(α)χ(ῆς) Μαριάμνης ἣν ἔχ(ει) ἐξ ἀγορασί(ας) ἀπὸ τοῦ Λουπηνάρη|[1]

† Σίγ(νον)	Ἀνδρον(ί)κ(ου)
τοῦ Λυ-	πηνάρ(η)

Σίγ(νον)	Μανουὴλ
τοῦ υἱοῦ	αὐτοῦ

Σίγ(νον)	Εἰρήν(ης)
τ(ῆς) θυγα-	τρὸ(ς) αὐτοῦ

|[2] † Ἐν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πν(εύματο)ς, ἡμεῖς οἱ ἐνταῦθα ἄνωθ(εν) ὡς|[3] ὁρᾶται οἰκειοχείρως σιγνογραφήσαντες τοὺς τύπους τοῦ τιμίου (καὶ) ζωοποιοῦ στ(αυ)ροῦ,|[4] πιπράσκομ(εν) ἀπὸ τῆς σήμερον ἑκουσί(ως) πάντῃ ἀβιάστως, ἀμεταμελήτως καὶ ἐκτό(ς)|[5] τινος αἰτί(ας) ἀποτετραμένης παρὰ τῶν νόμων, μετὰ καθολικοῦ δὲ μᾶλλον δε-|[6] φενσίωνος πρὸς σὲ τὴν ἐν μοναχαῖς κυρ(ὰν) Μαριάμνην τὴν τοῦ Βλακοῦ (καὶ) πρὸς|[7] τὸ μέρος σου ἅπαν, ἤτοι τοὺς κληρονόμους πάντ(ας) (καὶ) διαδόχους σου, τὸ περιελθ(ὸν)|[8] ἡμῖν ἐξ ἀγορασίας ἀμπ(έ)λ(ιον) ἀπὸ τοῦ Θεσπετζαλιώτου Μιχ(αήλ), ἐν τῇ τοποθεσίᾳ|[9] συγκείμενον τοῦ Κονταρίου, τὸ καὶ πλησίον ἡμῶν τῶν πεπρακότων καὶ|[10] πλη(σίον) τοῦ κ(ὺρ) Ἀγάλω-νος, ὡσεὶ στρέμμα α΄. Πεπράκαμ(εν) δὲ σοὶ τοῦτο ἐπὶ|[11] τιμήματος (νομι-σμάτ)ων ιη΄, ἅτινα (καὶ) ἐλάβομ(εν) ἀπαραλείπτως ἐνώπιον τοῦ εὐλαβε-

102. Les nos 50, 51 et 52 de notre édition constituent le dossier de la nonne Mariamnè ; il s'agit de trois contrats de vente en vertu desquels Mariamnè achète trois vignes limitrophes d'une superficie de 4 stremmata au total, situées au lieu-dit Kontarion. Il faut noter que, dans les titres de ces trois actes, le scribe nous informe que Mariamnè a fait sans doute don au monastère du Prodrome de ces vignes ; d'ailleurs ce don est également mentionné dans l'inventaire no 166 (post 1353), 166, 68 ; toutefois, le texte de cette donation n'a pas été inclu dans le Codex, soit parce qu'il était déja détruit, soit parce que cet acte de donation avait été fait oralement.

στά|τίου|12 ἱερέως καὶ ἄρχοντος τῶν μοναστηρίων κ(ὺρ) Λέοντος τοῦ Καλομένου καὶ ἑτέρων|13 τῶν μελλόντων ὑπογράψαι κάτωθ(εν). Ὀφείλεις τοιγαροῦν ἀπ᾽ἄρτι καὶ εἰς τὸ ἑ-|14 ξῆς κατέχ(ειν) τὸ δηλωθ(ὲν) ἀμπ(έ)λ(ιον) ἐξουσιωδῶς, κυρίως καὶ ἀναφαιρέτως καὶ|15 ποιεῖν ἐπ᾽αὐτὸ τὰ δόξαντά σοι ἀκωλύτως, ἤτοι πωλεῖν, δωρεῖσθαι, ἀντα-|16 λλάττειν, προικοδοτεῖν, καλλιεργεῖν, ἐκκλησίαις ἀφιερεῖν, κληρονόμοις καὶ δι-|17 αδόχοις ἐᾶν καὶ πάντα τ᾽ἄλλα ποιεῖν (καὶ) πράττειν ἐπ᾽ αὐτό, ὅσα τε βούλει|18 (καὶ) ὅσα ἐκ τῶν θείων νόμων ἐφεῖταί σοι, ἡμῶν τὸ ἀπὸ τοῦδε μεταμελέσθαι|19 ὅλως μὴ ἰσχυόντων ἐπὶ τῇ παρούσῃ καθαρᾷ καὶ ἀπεριέργῳ διαπράσει, ἀλλ᾽ὀ-|20 φειλόντων μᾶλλον διόλου στοιχεῖν πάσῃ τῇ περιλήψει αὐτῆς, τ(ὸν) καθολικόν τέ σοι|21 ποιεῖν δεφενσίωνα καὶ διατηρεῖν σε ἀζήμιόν τε (καὶ) ἀνενόχλητον ἐκ παντὸ(ς) προ-|22 σώπου εἰς ἐκνείκησιν τοῦ εἰρημένου ἀμπελῶνος χωρήσαντος. Ἐὰν δέ ποτε τῶν |23 καιρῶν εἴτε ὡς ἐκ με<ταμε>-λεί(ας) εἴτε (καὶ) ἀπό τινος ἑτέρας νομικ(ῆς) ἰσχύος (καὶ) βοηθείας π[ει-]|24 ραθῶμ(εν) ἀνατρέψαι τὸ παρ(ὸν) πρατήριον ἔγγραφον (καὶ) οὐ μᾶλλον ποιῶμ(έν) σοι (καὶ) τ(ὸν) καθ[ο-]|25 λικὸν δεφενσίωνα νομίμως, οὐ μόνον ἵνα οὐ μὴ εἰσακουώμεθα ἐφ᾽οἷς ἂν ἴσω[ς]|26 λέγειν ἔχομ(εν), ἀλλὰ σὺν τῇ διπλασίωνι ἀντιστροφῇ ὧν ἀπὸ σοῦ ἐλάβομ(εν) ὑπὲρ|27 τελείας τιμῆς τοῦ ἀναγεγραμμένου ἀμπελῶνος, τῇ δόσει τε τῶν παρὰ σοῦ καὶ τοῦ μέρους [σου]|28 καταβληθησομένων ἐν αὐτῷ πασῶν ἐξόδων ἀπαιτώμεθα (καὶ) λόγῳ προστίμου πρός σε|29 μ(ὲν) (νομίσματ)α ν΄, πρὸς δὲ τ(ὸν) δημόσιον τὸ κατὰ νόμους ἀπὸ τῆς περιουσίας ἡμῶν πάσης|30 (καὶ) ὑποστάσεως· σὺν τὸ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν πρατήριον ἔγγραφον, ὅπερ|31 καὶ ἐγράφη χειρὶ Θε(ο)δ(ώ)ρου διακόνου (καὶ) ταβουλλ(α)ρί(ου) τοῦ λογαριαστοῦ κατὰ μῆνα Μάιον, τῆς ια΄(ἰνδικτιῶνος),|32 τοῦ ,ςω^ου^λς^ου^΄ ἔτους † Ὁ οἰκονόμος Σερρῶν Μαν(ουὴ)λ διάκονος ὁ Κουβαρᾶς †

|33 † Ὁ σκευοφύλαξ Σερρῶν Ἰω(άνν)ης ἱερεὺς ὁ Μοδηνό(ς) † Ὁ πρωτέκδικος Σερρῶν Θεόδ(ω)ρο(ς) ἱερεὺς ὁ Τζέμ[τζέας]

|34 † Ὁ χαρτοφύλαξ Σερρῶν Θεόδ(ω)ρο(ς) διάκον(ος) ὁ Εἰρηνικός † Ὁ ταβουλλάριος Σερρῶν Θεόδ(ω)ρο(ς) διάκον(ος) ὁ λογαριαστής.

|35 † Ὁ δοῦλος τοῦ κρατ(αι)οῦ (καὶ) ἁγ(ίου) ἡμῶν αὐθ(έν)τ(ου) (καὶ) βασιλ(έως), Ἰω(άννης) ὁ Ἀγάλλων †

---

51. p. 47-48[103]

Πρατήριον ἔγγραφον (l. 21, 27) **juillet, ind.12, a.m.6837(=1329)**

Contrat de vente entre Andronic Lypènarès et ses enfants, d'une part, et la nonne Mariamnè (ayant-droit) de Blakos, de l'autre, concernant leur vigne d'une superficie d'un stremma, située au lieu-dit Kontarion et avoisinant une vigne de l'acquéreur, pour la somme de 10 onces de ducats.[104]

† Ἑτέρα προσένεξις τῆς αὐτ(ῆς) Μαριάμνης †

† Σίγ(νον)	Ἀνδρον(ί)κου	Σίγ(νον)	Μαν(ουὴ)λ
τοῦ Λυ–	πηνάρη	τοῦ υἱ–	οῦ αὐτοῦ

Σίγ(νον)	Εἰρήν(ης)
τ(ῆς) θυγα–	τρὸ(ς) αὐτοῦ †

|2 † Ἐν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πν(εύματο)ς, ἡμεῖς οἱ ἐνταῦθα ὡς ὁρᾶται οἰ-|3 κειοχείρως σιγνογραφήσαντες τὸν τύπον τοῦ τιμίου καὶ ζωοποιοῦ στ(αυ)ροῦ, πιπράσκο-|4 μ(εν) ἀπὸ τὴν σήμερον ἑκουσίως πάντῃ, ἀβιάστως, ἀμεταμελήτως καὶ ἐκτός τινος|5 αἰτίας ἀποτετραμμένης παρὰ τῶν νόμων, μετὰ καθολικοῦ δὲ μᾶλλον δεφεν-|6 σίωνος πρὸς σὲ τὴν ἐν μοναχαῖς κυρ(ὰν) Μαριάμνην τὴν τοῦ Βλακοῦ καὶ πρὸς τὸ μέρος σου|7 ἅπαν, ἤτοι τοὺς κληρονόμους σου πάντα(ς) (καὶ)

---

103. A la page 48, il y a quelques taches d'humidité, ainsi que des coupures latérales aux deux bouts extérieurs de la page.

104. Sur le dossier de la nonne Mariamnè, cf. les nos 50-52 (pp. 46-49) de notre édition.

διαδόχους. τὸ περιελθ(ὸν) ἡμῖν ἐξ ἀγορα-|8 σίας ἀμπ(έ)λ(ιον) ἀπὸ τῆς Κουρτεσίνας Εἰρήν(ης), τὸ διακείμενον ἐν τῇ τοποθεσίᾳ τοῦ Κονταρίου,|9 τὸ πλη(σίον) τῆς ἐξονουμένης τοῦτο καὶ πλη(σίον) ἡμῶν τῶν πεπρακότων, ὡσεὶ στρέμμα α΄|10 Πεπράκαμ(εν) δέ σοι τοῦτο ἐπὶ τιμήματος δουκ(ά)-τ(ων) οὐγγίας ι΄, ἅπινα (καὶ) ἐλάβομ(εν) ἀπαρα-|11 λείπτως. ᾿Οφείλεις τοιγαροῦν ἀπ᾿ ἄρτι καὶ εἰς τὸ ἑξῆς κατέχειν τὸ δηλωθ(ὲν) ἀμπ(έ)λ(ιον) ἐξου-|12 σιωδῶς, κυρίως (καὶ) ἀναφαιρέτως καὶ ποιεῖν ἐν αὐτῷ τὰ δόξαντά σοι ἀκωλύτως,|13 ἤτοι πωλεῖν, δωρεῖσθαι, ἀνταλλάττειν, προικοδοτ(εῖν), ἐκκλησίαις ἀφιεροῦν, κλη-|14 ρονόμοις καὶ διαδόχοις ἐᾶν (καὶ) πάντα τ᾿ ἄλλα ποιεῖν καὶ πράττειν ἐπ᾿ αὐτό, ὅσα τε βού-|15 λει (καὶ) ὅσα ἐκ τῶν θείων νόμων ἐφεῖταί σοι, ἡμῶν τὸ ἀπὸ τοῦδε μεταμελέσθαι ὅλως|16 μὴ ἰσχυόντων ἐπὶ τῇ παρούσῃ καθαρᾷ (καὶ) ἀπεριέργῳ διαπράσει, ἀλλ᾿ ὀφειλόντων μᾶ-|17 λλον διόλου στοιχεῖν πάσῃ τῇ περιλήψει αὐτῆς, τ(ὸν) καθολικόν τέ σοι ποιεῖν δεφεν-|18 σίωνα καὶ διατηρεῖν σε ἀζήμιόν τε (καὶ) ἀνενόχλητον ἐκ παντὸ(ς) προσώπου τοῦ εἰς ἐκ-|19 νείκησιν τοῦ εἰρημένου ἀμπελῶνος χορήσαντος. Ἐὰν δέ ποτε τῶν καιρῶν εἴτε|20 ὡς ἐκ μεταμελείας εἴτε (καὶ) ἀπό τινος ἑτέρας νομικῆς ἰσχύος (καὶ) βοηθείας πειραθῶμ(εν)|21 ἀνατρέψαι τὸ παρ(ὸν) πρατήριον ἔγγραφον (καὶ) οὐ μᾶλλον ποιῶμ(έν) σοι τ(ὸν) καθολικ(ὸν) δεφεν-|22 σίωνα νομίμως, οὐ μόνον ἵνα μὴ εἰσακουώμεθα ἐφ᾿ οἷς ἂν ἴσως λέγειν ἔχομ(εν), ἀλλὰ|23 σὺν τῇ διπλασίωνι ἀντιστροφῇ ὧν παρὰ σοῦ ἐλάβομ(εν) ὑπὲρ τελείας τιμῆς τοῦ ἀνα-|24 γεγραμμένου ἀμπελῶνος, τῇ δόσει τε τῶν παρὰ σοῦ καὶ τοῦ μέρους σου καταβληθη-|25 σομένων ἐν αὐτὸ πασῶν ἐξόδων ἀπαιτώμεθα (καὶ) λόγου προστίμου, πρὸς σὲ μ(ὲν) (νομίσματ)α ν΄,|26 πρὸς δὲ τὸν δημόσιον τὸ κ(α)τ(ὰ) νόμους ἀπὸ τῆς περιουσί(ας) ἡμῶν πάσης καὶ ὑποστάσεως·|27 οὗ χάριν καὶ τὸ παρὸν πρατήριον ἔγγραφον γεγονό(ς), ἐπεδόθη σοι δι᾿ ἀσφάλειαν †|28 μηνὶ ᾿Ιουλ(ίῳ), (ἰνδικτιῶνος) ιβ΄, τοῦ ,ςω^ου^λζ^ου^΄ ἔτους †

|29 † ῾Ο ταβουλλάριος Σερρῶν Θεόδ(ω)ρο(ς) διάκον(ος) ὁ λογαριαστής †

|30 † ῾Ο πρωτέκδικος Σερρ(ῶν) Σέργιος ὁ Συναδινό(ς) †

---

52. p. 48-49[105]

῎Εγγραφος πράσεως (l. 4-5) **décembre, ind.12, a.m.6837(=1328)**

Contrat de vente entre Théodore Basilikiôtès et sa femme Kalè, d'une part, et la nonne Mariamnè, de l'autre, concernant leur vigne d'une superficie d'un stremma, située au lieu-dit Kontarion et avoisinant les vignes de l'acquéreur, pour la somme d'une livre de ducats en nomismata.[106]

† ῾Ετέρα προσένεξις τ(ῆς) αὐ(τῆς) Μαριάμνης †

Σίγ(νον)	Θεοδ(ώ)ρ(ου)	Σίγ(νον)	Καλῆς	
τοῦ Βα–	σιλικιώτου	τῆς ὁμο–	ζύγου αὐτοῦ	2

† ᾿Εν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ῾Αγίου Πν(εύματο)ς, ἐγὼ Θεόδ(ω)ρο(ς) ὁ Βασιλικιώτ(ης) σὺν ἅμα τῇ συ-|3 ζύγῳ μου Καλῇ, οἱ ἐνταῦθα σιγνογραφήσαντες τοὺς τύπους τοῦ τιμίου καὶ ζωοποι(οῦ)|4 στ(αυ)ροῦ ἐπὶ τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον τῆς εἰλικρινοῦς (καὶ) ἀδιαβλήτου|5 ἡμῶν πράσεως, τῆς οὐκ ἔκ τινος ἀνάγκης, ἢ βίας, ἢ φόβου, ἢ δόλου, ἢ χλεύης, ἢ|6 ἀπάτης, ἢ ῥαδιουργίας, ἢ ἄλλης τῆς οἱασοῦν τῷ νόμῳ αἰτίας, ἀλλὰ συμπρο-|7 θυμίᾳ ἡμῶν, ὁλοψύχῳ βουλῇ καὶ θελήσει, καὶ μετὰ καθολικοῦ νομίμου δεφενσί-|8 ωνος (καὶ) πάσης νομίμου ἀσφαλείας καὶ ἐπερωτήσεως, πεπράκαμ(εν) τὸ περιὸν ἡμῖν|9 ἀμπ(έ)λ(ιον) περὶ τὸ Κοντάριον ὡσεὶ στρέμματα β΄. Πεπράκαμ(εν) δὲ τοῦτο πρὸς τὴν μοναχὴν|10 Μαριάμνην, καθὰ καὶ πλη(σίον) ὑπάρχει, εἰς νομί-σματα λίτραν μίαν δουκ(ά)τ(ων), ἅτινα (καὶ) ἀνελα-|11 βόμεθα σῶα (καὶ) ἀνελλιπές, ἐνώπ(ιον) τοῦ πν(ευματ)ικοῦ κ(ὺρ) Βαρλαάμ, τοῦ ἱερομονάχου

---

105. A la partie inférieure de la page 49, aux deux bouts, il y a des coupures latérales.

106 Sur le dossier de la nonne Mariamnè, cf. les nos 50-52 (pp.46-49) de notre édition ; il est intéressant de constater les différentes unités monétaires utilisées dans ces trois contrats de vente presque contemporains du même acquéreur.

κ(ὺρ)|12 Θεοδούλου, τοῦ ἱερομονάχου κ(ὺρ) Θεολήπτου, κ(ὺρ) Κωνστα– ντίνου τοῦ Ἀρσενίου (καὶ) ἑτ(έ)ρ(ων)·|13 (καὶ) ὀφείλει ἀπὸ τὴν σήμερον παραλαβ(εῖν) ἡ μοναχὴ Μαριάμνη τὸ παρ(ὸν) ἀμπ(έ)λ(ιον) (καὶ) ἔχειν καὶ νέ–|14 μεσθαι καὶ δεσπόζειν αὐτό, καθὼς καὶ παρ' ἡμῖν ἐνέμετο καὶ ἐδεσπόζετο, μὴ παρά τινο[ς]|15 ἐμποδιζομένη ἢ ἐνοχλουμένη ἐπὶ τῇ τούτου νομῇ (καὶ) δεσποτείᾳ. Εἰ δέ ποτε τῶν καιρῶν εὕρη|16 ἐμποδισμ(ὸν) ἢ ὄχλησιν περὶ τοῦ ἀμπ(ε)λ(ίου) τούτου, νὰ δίδω πρὸς αὐτὴν ἐκ τοῦ ἑτέρου ἀμπ[ε]λίου,|17 ὅπερ ἔχω εἰς τ(ὸν) αὐτ(ὸν) τόπον, ἰσόποσον, ὡς ἵνα ἔχῃ αὐτὸ ἄνευ λόγου τινὸς (καὶ) ἀφορμῆς, μὴ [παρά]|18 τινος ἐμποδιζομ(έ)ν(η) ἢ ἐνοχλουμένη ἐπὶ τῇ τούτου νομῇ τε (καὶ) δεσποτείᾳ, ἐπ' ἀδείας τε ἔχειν|19 ἐπ' αὐτὸ ποιεῖν ὅσα καὶ βούλει, οἷον πωλ(εῖν), δωρεῖσθαι, ἀνταλλάττειν, προιξίν, ἐν [ἐκ–]|20 κλησίαις ἀφιερ(εῖν) (καὶ) λεγάταις παραπέμπειν (καὶ) ἁπλῶς ποιεῖν ἐπ' αὐτὸ ὅσα οἱ θεῖοι καὶ|21 φιλευσεβεῖς νόμοι τοὺς τ(ῶν) πραγμάτων δεσπότας ποιεῖν ἐγκελεύονται, ἡμῶν δὲ ἀποβα–|22 λλομένων (καὶ) πάντων τοῦ μέρους ἡμῶν καὶ κληρονόμων διαδόχων ἡμῶν (καὶ) πάντων τ(ῶν)|23 διακατόχων. Εἰ δὲ μὴ οὕτως ποιῶμ(εν), ἀλλ' εἰς ὑστερο– βουλίας (καὶ) προφάσεις χωρήσωμεν,|24 στοιχῶμ(εν) τοῦ μὴ {τοῦ μὴ} εἰσα– κουόμεθα ἐφ' οἷς ἂν ἔχομ(εν) λέγειν, ἀλλὰ σὺν τῷ ἐκδιωκό–|25 μεθα ἀπὸ παντὸς δικαστηρίου ἄπρακτοι (καὶ) ἀνενέργητοι (καὶ) προστίμου δόσιν παρέ–|26 ξομ(εν) ἐκ παραβασίας καὶ ἐπερωτήσεως τὸ στέργον μέρος (νομί– σματ)α εἰς τὸ διπλοῦν (καὶ) πρὸς [τὸν]|27 δημόσιον τὸ κ(α)τ(ὰ) νόμους. Ἐγράφη ταῦτα παρ' ἐμοῦ Μιχ(αὴλ) ἱερέως καὶ ταβουλλαρίου τῆς ἁγιω– τ(ά)τ(ης)|28 μ(ητ)ροπόλ(εως) Σερρῶν τοῦ τεκνοδότου, μηνὶ Δεκεμβρίῳ, (ἰνδικτιῶνος) ιβ', τοῦ ,ςω^ου^λζ' ἔτους †

|29 † Ὁ εὐτελὴς οἰκονόμος τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρῶν Μαν(ου)ὴλ διάκον(ος) ὁ Κουβαρ(ᾶς) †

|30 † Ὁ σκευοφύλαξ Σερρ(ῶν) ἱερεὺς Ἰω(άννης) ὁ Μοδηνός † Ὁ χαρτοφύλαξ Σερρ(ῶν) Θεόδ(ω)ρο(ς) διάκον(ος) ὁ Εἰρηνικός [†]

|31 † Ὁ πρωτέκδικος Σερρῶν Θεόδ(ω)ρ(ος) ἱερεὺς ὁ Τζεμτζέας †

|32 † Ὁ δοῦλος τοῦ κρατ(αι)οῦ (καὶ) ἁγίου ἡμῶν αὐθ(έν)τ(ου) (καὶ) βασιλ(έως) Ἰω(άννης) ὁ Ἀγάλλων †

|33 † Ὁ ταβουλλάριος Σερρῶν Μιχ(αὴλ) ἱερεὺς ὁ τεκνόδοτος †

---

53. p. 49-50[107]
Πρατήριον (l. 16), **novembre, ind.8, a.m.6848(=1339)**
πρατηριῶδες γράμμα (l. 19)

Contrat mixte entre Xènos Kalligopoulos, dit Mourmouras, et sa famille, d'une part, et le monastère du Prodrome, de l'autre, composé de l'échange d'un tiers de leur terrain- legs de feue leur mère -, avec un terrain (κάθισμα) appartenant au monastère, d'une superficie égale, situé dans la région de Léstianè et de la vente des 2/3 de ce terrain pour la somme de 6 nomismata, ainsi que d'un autre terrain voisin, d'une superficie de 5 stremmata pour la somme de 5 onces de ducats.

† Πρατήριον Ξένου Καλλιγοπ(ού)λ(ου) τοῦ καὶ Μουρμουρᾶ λεγομ(έν)ου
περὶ τ(ὸν) Ἅγ(ιον) Γεώργ(ιον) †[108]

† Ξένος ὁ Καλλιγόπουλος οἰκεία χειρὶ προέταξα †

Σίγ(νον)	Θεοδ(ώ)ρα(ς)	Σίγ(νον)	Θωμᾶ	|2
τ(ῆς) συμ–	βίου αὐτοῦ	τοῦ υἱοῦ	αὐτ(ῶν)	

† Ἐν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πν(εύματο)ς, ἡμεῖς οἱ ἐνταῦθοι ὡς ὁρᾶται οἰκειοχείρ(ως)|3 σιγνογραφήσαντες τοὺς τύπους τοῦ τιμίου καὶ ζωοποιοῦ στ(αυ)ροῦ, οἰκεία βουλῇ, γνώμῃ|4 καὶ

107. Il y a des coupures latérales aux deux bouts de la partie inférieure de la page 50.

108. La mention de Saint-Georges dans le titre de ce contrat, ainsi que la mention du sacellaire Georges Mourmouras comme neveu des contractants (l. 18), nous conduisent a lier cette famille à la famille du sacellaire Mourmouras, qui, après la mort du sacellaire à cette même époque, dédie le monastère de Saint-George Kryonéritès au monastère du Prodrome (cf. les nos 161 et 162).

θελήσει πιπράσκομεν] άμεταμελήτως καὶ χωρὶς λόγου τινὸς πρὸς τὴν σε-
(βασμί)αν βασιλι-[5] κὴν μονὴν τοῦ τιμίου προφήτου Προδρόμου (καὶ) Βα-
(πτιστοῦ Ἰωάννου) τὸ χωράφιον τὸ ὅπερ δέ-[6] δωκ(εν) ἡ μάννα ἡμῶν εἰς
[illegible] τῆς δομεστικίσης (καὶ) ἀδελφ(ῆς)[7] ἡμῶν
[illegible] ἦν γὰρ τοῦτο ποτε τῆς δομεστικίσης ... εἰς (νομίσματ)α ς΄. τὸ δὲ (τρίτον) ἵνα
ἐκείνης· τὸ μὲν (ἥμισυ) τούτου εἰς (νομίσματ)α ς΄. τὸ δὲ (τρίτον) ἵνα
ἀντὶ τούτου, ὅσον[8] ἐστί, δώσει ἡμῖν ἡ εἰρημένη βασιλικὴ μονὴ ἀπὸ τοῦ
καθίσματος, οὗ ἔχει τοῦ Σαρα-[9] κηνοῦ εἰς τὴν Λεσπιανην, ἀπὸ τοῦ μέρους
τῆς ὁδοῦ τῆς πλησιαζούσης δουκα τοῦ[10] Χαβαρωνος. Ὡσαύτως πεπράκα-
μεν] ἕτερον] χωράφιον πλη(σίον) τούτου, στρέμματα ε΄,[11] εἰς δουκ(ά)-
τα ούγγιας ε΄, ὃ εἴχομεν] ἐξ ἀγορᾶς ἀπὸ τοῦ ἀνεψιοῦ ἡμῶν κ(υρ)οῦ Θεο-
δώρου[12] τοῦ Δαμασκηνοῦ. πρὸς τὴν τοιαύτην βασιλικὴν μονὴν (καὶ) ὃ
εἴχομεν] εἰς δικαίωμα πρατήριον][13] ἐδόθη καὶ τοῦτο. Ὅθ(εν) (καὶ) ἀπὸ
τούτου ὀφείλει ἡ τοιαύτη βασιλικὴ μονὴ καὶ εἰς τὸ[14] ἐξῆς ἔχειν καὶ
νέμεσθαι ὡς οἰκοκτήρια ποιεῖν ἐπ' αὐτοῖς τοῖς χωραφίοις[15] ὅσα γε οἱ φιλευ-
σεβεῖς διορίζονται νόμοι, οἷον πωλεῖν, ἀνταλλάττειν, ναοῖς ἀφι-[16] εροῦν
(καὶ) ἄλλο εἴ τι δόξῃ αὐτῇ, ἡμῶν ἀποβαλλομένων. Ἐδόθη το παρ(όν)
πρατήριον τῇ εἰρη-[17] μένῃ μονῇ ἐνώπιον τοῦ ἐντιμοτ(ά)τ(ου) σακελλαρίου
τῆς καθ' ἡμᾶς ἁγιωτάτης μ(ητ)ροπόλ(εως) Σερρῶν[18] τοῦ ἀνεψιοῦ ἡμῶν
κ(υρ)οῦ Γεωργίου τοῦ Μουζαλωνᾶ καὶ ἑτέρων· μηνὶ Νοεμβρίῳ, (ἰνδικτιῶνος)
ιβ΄, τοῦ [19] ςω[ν]μη΄ ἔτους. Ἐγράφη τὸ παρὸν πρατηριῶδες γράμμα
χειρὶ τοῦ ἐντιμοτ(ά)τ(ου)[20] ἐν ἱερεῦσι (καὶ) πρωτονοταρίου τῆς ἁγιωτά-
της μ(ητ)ροπό(λεως) Σερρῶν κ(υρ)οῦ Νικολ(άου) τοῦ Κουβαρᾶ, προτροπῇ[21]
δὲ ἐμοῦ τοῦ σακελλίου τῆς αὐτῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(όλ)εως διακό-
ν(ου) τοῦ Καλοφρίζου ·

[22] · Ὁ σακελλίου τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρ(ῶν) Μιχ(αὴλ)
διάκονος ὁ Καλόφριζος ·

[23] · Ὁ πρωτονοτ(ά)ρ(ιος) Σερρῶν Νικόλ(αος) ἱερεὺς ὁ Κουβαρᾶς ·

54. p. 50-51
Πρατήριον (l. 16) octobre, ind.12, a.m.6852(=1343)

Contrat de vente entre Irène Comnène Kontostéphanina et sa famille, d'une part, et le monastère du Prodrome, de l'autre, concernant deux terrains d'une superficie de 12 stremmata situés au lieu-dit Angélitzin, pour la somme de 8 onces de ducats.[109]

† Πρατήρ(ιον) τῆς Κοντοστεφανίν(ας) :

Σί(γνον) τῆς Κον-	Εἰρήνης Κομνην(ῆς) τοστεφανίν(ας)	Σί(γνον) στεφάν(ου)	Κωνσταντίνου Κοντο- τοῦ υἱοῦ αὐτ(ῆς)
Σί(γνον) τοῦ ἀδελ(φ)οῦ	Ἰω(άνν)ου αὐτοῦ	2	

† Ἐν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ (καὶ) τοῦ Ἁγίου Πν(εύματο)ς. ἡμεῖς οἱ ἐνταῦθα σιγνογραφήσαντες τοὺς[3] τύπους τοῦ τιμίου καὶ ζωο-ποιοῦ στ(αυ)ροῦ οἰκείᾳ βουλῇ, γνώμῃ καὶ θελήσει πιπράσκομ(εν) πρὸς[4] τὴν σε(βασμί)αν μονὴν τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰω(άνν)ου τὰ χωράφια ἡμῶν,[5] ἅτινά εἰσιν εἰς τὸν Ἀγγελίτζιν, ὡσεὶ στρέμ-ματα ιβ΄, πλη(σίον) τοῦ ἀμπ(ε)λ(ίου) ἡμῶν (καὶ) τοῦ χω-[6] ραφίου τοῦ ποτε Ἀραβαντᾶ, νῦν δὲ τῆς αὐτῆς μονῆς. Πεπράκαμ(εν) δὲ ταῦτα εἰς δουκ(ά)τ(α)[7] οὐγγίας ὀκτώ, ἃς καὶ ἀνελαβόμεθα ἀπὸ τῶν ἱερομονάχων (καὶ) μοναχ(ῶν) τῶν ἐν αὐτῇ ἐνα-[8] σκουμένων, χειροδότως, σῶας καὶ ἀνελλιπεῖς. Εἴχομ(εν) δὲ ταῦτα τὰ εἰρημένα[9] χωράφια ἐξ ἀγορᾶς ἀπὸ Ἀνδρονίκου τοῦ Πεπανοῦ καὶ ἐδόθη τῇ μονῇ καὶ τὸ πρατήρ(ιον)[10] ὃ εἴχομ(εν) εἰς δικαίωμα. Ὅθ(εν) (καὶ) ὀφείλει ἡ τοιαύτη σε(βασμί)α μονὴ κατασχεῖν τὰ τοιαῦτα δώδεκα[11] στρέμματα τὸ χωράφιον (καὶ) ἔχειν (καὶ) νέμεσθαι καὶ τὴν ἐξ αὐτῶν πᾶσαν καὶ παντοίαν[12] πρόσοδον ἀποφέρεσθαι, ποιεῖν ἐπ' αὐτοῖς ἀκωλύτως τὰ δόξαντα, οἷον πωλῆσαι,[13] χαρίσαι,

109 Cf. aussi l'acte suivant (no 55), concernant un deuxième contrat de vente entre les mêmes contractants des terrains avoisinants et conclu quelques années plus tard

ἀνταλλάξειν. θείω καὶ σεπτῷ ἱερῷ ἀφιερώσειν καὶ ἄλλο εἴ τι δόξη αὐτῇ,|[14] μηδενὸς ὀφείλοντος ὀχλήσειν τῇ τοιαύτη μονῇ ἕνεκα τούτου, ἐνώπιον τῶν ἐντιμοτ(ά)τ(ων)|[15] ἀρχόντων. τοῦ πρωτοπρεσβυτέρου κ(ὺρ) Μιχ(αὴλ) τοῦ τεκνοδότου. τοῦ χαρτοφύλακος καὶ|[16] τοῦ σακελλίου. Ἀσφαλείας δὲ ἕνεκα ἐγεγόνει τὸ παρὸν ἡμῶν πρατήριον καὶ ἐπε-|[17] δόθη τῇ σε(βασμί)α βασιλικῇ μονῇ καὶ τοῖς ἐν αὐτῇ ἐνασκουμένοις ἱερομονάχοις καὶ μο-|[18] ναχοῖς καὶ λοιποῖς ἅπασι. μηνὶ Ὀκτωβρίω, (ἰνδικτιῶνος) ιβ΄, τοῦ ,ςω^{ου}ν^{ου}β^{ου}΄ ἔτους †

|[19] † Ὁ πρωτονοτ(ά)ρι(ος) τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπόλ(εως) Σερρῶν Νικό-λ(αος) ἱερεὺς ὁ Κουβαρᾶς †

---

55. p. 51 **[10] février, ind.2 (XIVe siècle)**

Πρατήριον (l. 13)

Contrat de vente entre Irène Comnène Kontostéphanina et sa famille, d'une part, et le monastère du Prodrome, de l'autre, concernant un terrain d'une superficie de 7 stremmata, situé au lieu-dit Angélitzin et avoisinant les terrains du monastère, pour la somme de 4 onces de ducats.

† Ἕτερον πρατήριον τῆς αὐτ(ῆς) Κοντοστεφανίν(ας) †

Σίγ(νον)	Εἰρήν(ης)
Κομνη-	ν(ῆς) τῆς Κοντοστεφανίν(ας)

Σίγ(νον)	Κων(σταντίν)ου Κοντοστεφάνου	Σίγ(νον)	Ἰω(άνν)ου
υἱοῦ	αὐτῆς	τοῦ ἀδελ(φ)οῦ	αὐτοῦ |2

10 Dans ce contrat de vente, mention est faite de la transmission au monastère des terrains voisins (l. 7-8) ; il s'agit, sans doute, de notre no 54, daté de 1343 ; en outre, les parties contractantes ainsi que l'administrateur, le prôtonotaire Nicolas Koubaras qui a soussigné l'acte, sont les mêmes que ceux du no 54 ; la date donc la plus probable de sa rédaction est 1349.

† Ἐν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πν(εύματο)ς, ἡμεῖς οἱ ἐνταῦθα σιγνογραφήσαντες|[3] τοὺς τύπους τοῦ τιμίου καὶ ζωο-ποιοῦ στ(αυ)ροῦ, οἰκεία βουλῇ, γνώμη καὶ θελήσει πιπράσκο-|[4] μ(εν) ἀμεταβλήτως καὶ χωρίς τινος προφάσεως τὸ εἰς τ(ὸν) Ἀγγελίτζιν λεγό-μενον|[5] χωράφιον ἡμῶν ὡς στρέμματα ζ΄, πρὸς τὴν σε(βασμί)αν βασιλικὴν μονὴν τοῦ τιμίου ἐνδόξου|[6] προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰω-(άννου) καὶ πρὸς τοὺς ἐν αὐτῇ εὑρισκομένους τιμι-|[7] ωτάτους ἱερο-μονάχους καὶ μοναχοὺς, εἰς δουκ(ᾶ)τ(α) οὐγγίας τέσσαρας, ἐπεὶ καὶ τὸ πλη(σίον)|[8] τούτου ὅλον προηγόρασεν ἡ τοιαύτη μονὴ καὶ οὐκ ἀπελείφθη εἰς ἡμᾶς ποσῶς|[9] ἕτερον χωράφιον εἰς αὐτ(ὸν) τὸν τόπον. Ὅθ(εν) (καὶ) ὀφείλει ἀπὸ τοῦ νῦν κατασχεῖν ἡ τοιαύτ(η)|[10] μονὴ καὶ ἔχειν καὶ νέμεσθαι ὡς καθολικὸς οἰκοκύριος καὶ ποιεῖν ἐπ᾽αὐτὸ τὰ|[11] δόξαντα αὐτῇ, οἷον πωλεῖν, ἀνταλλάττειν, χαρίζειν, προικίζειν, ναοῖς ἀφιεροῦν|[12] καὶ ἄλλο εἴ τι δόξη τοῖς εὑρισκομένοις ἐν αὐτῇ ἱερομονάχοις (καὶ) μοναχοῖς.|[13] Τούτου χάριν ἐγένετο τὸ παρὸν ἡμῶν πρατήριον ἐνώπιον κ(ὺρ) Γεωργίου τοῦ Χούμνου,|[14] τοῦ γαμβροῦ αὐτοῦ τοῦ Σερήγονος καὶ κ(ὺρ) Μιχ(αὴλ) τοῦ Συναδηνοῦ καὶ ἐπεδόθη τοῖς τι-|[15] μιωτάτοις ἱερομονάχοις καὶ μοναχοῖς, τοῖς ἐν αὐτῇ τῇ εἰρημένη εὑρισκομένοις|[16] μονῇ εἰς βεβαίαν ἀσφάλειαν † μηνὶ Φευρουαρίω, (ἰνδικτιῶνος) β^{ας}΄ †

|[17] † Ὁ πρωτονοτ(ά)ρ(ιος) τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρῶν Νικόλ(αος) ἱερεὺς ὁ Κουβαρᾶς †

---

56. p. 51-52 **mai, ind.2, a.m.6842(=1334)**

Γράμμα(l. 17, 19-20, 25)

Contrat de vente entre Constantin Atouémès et sa femme Anna, Manuel Zagaromatès et sa femme Maria et Nicolas Kardamès et son fils Michel, d'une part, et Michel Synadènos, de l'autre, concernant leur terre patrimoniale située au lieu-dit Kéramariai, ainsi que leur vigne située au lieu-dit

Kontarion et avoisinant la rivière et les propriétés de Pélargos et de Kontobrakès, pour la somme de 90 nomismata.[111]

† Προσένεξις Μιχ(αὴλ) τοῦ Συναδηνοῦ, ἣν ἐξ ἀγορασί(ας) ἀπὸ τοῦ
᾿Ατουέμ(ου)|[2] γαμβροῦ τοῦ Καρδάμη (καὶ) δέδωκε ταύτ(ην) εἰς τὸ
μοναστ(ή)ρ(ιον) †[112]

† ῾Ο δοῦλος τοῦ κρατ(αι)οῦ (καὶ) ἁγ(ίου) ἡμῶν αὐθ(έν)τ(ου) (καὶ) βασι-λ(έως) Κων(σταντῖνο)ς ὁ ᾿Ατουέμης οἰκεία χειρὶ προέταξα †

Σίγ(νον)	῎Αννη(ς)	
τῆς συμ-	βίου αὐτοῦ †	|[2]

† ῾Ο δοῦλος τοῦ κραταιοῦ (καὶ) ἁγίου ἡμ(ῶν) αὐθ(έν)τ(ου) (καὶ) βασι-λ(έως) Μαν(ουὴ)λ ὁ Ζαγαρομάτ(ης) †

Σίγ(νον) Μαρί(ας)	τῆς συ-	
μβίου τοῦ	Ζαγαρομάτ(ου)	|[3]

† ῾Ο δοῦλος τοῦ κραταιοῦ (καὶ) ἁγίου ἡμῶν αὐθ(έν)τ(ου) (καὶ) βασιλ(έως) Νικόλ(αος) ὁ Καρδάμης †

Σίγ(νον)	Μιχ(αὴλ)	
(τοῦ) υἱοῦ	αὐτοῦ †	|[4]

† ᾿Εν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ῾Αγίου Πν(εύματο)ς, ἡμεῖς οἱ ἐνταῦθα ὡς ὁρᾶται τ(ὸν)|[5] τύπον τοῦ τιμίου καὶ ζωοποιοῦ στ(αυ)ροῦ σιγνογραφήσαντες ἑκουσίως πάνυ καὶ ἀ-|[6] βιάστως καὶ μετὰ καθαρᾶς καὶ ἀδιαβλήτου γνώμης πιπράσκομ(εν) πρὸς σὲ|[7] κ(ὺρ) Μιχ(αὴλ) τ(ὸν) Συναδηνὸν μετὰ καθολικοῦ καὶ νομίμου δεφενσίωνος τὴν ἐκ γονικόθ(εν)|[8] προσοῦσαν ἡμῖν γῆν ἐν τῇ τοποθεσίᾳ τῶν Κεραμαρίων, ὅση (καὶ) οἵα ἐστί, μετὰ|[9] τοῦ ἀμπ(ε)λ(ίου) ἡμῶν, τοῦ προσόντος ἐν τῇ τοποθεσίᾳ τοῦ Κονταρίου, τὸ πλη(σίον) τοῦ ποταμοῦ,|[10] τοῦ Πελαργοῦ καὶ τοῦ Κοντο-

111 Sur le dossier de Michel Synadènos, cf. aussi le no 57 de notre édition.

112. Dans le titre de cet acte, le scribe nous informe que ces biens-fonds ont été postérieurement donnes au monastère du Prodrome par l'acquéreur Michel Synadènos ; l'acte de cette donation n'est pas inclus dans le Codex ; sur des cas relatifs cf. entre autres les nos 41, 42 et 50 et les notes relatives de notre édition.

βράκη, εἰς (νομίσματ)α ϟ΄, ἃ δὴ (καὶ) ἀνελαβόμεθα ἀπὸ σοῦ|[11] σῶα καὶ ἀνελλιπῆ. ᾿Οφείλεις τοιγαροῦν ἀπεντεῦθ(εν) καὶ ἀπὸ τῆς σήμερον ἀνα-|[12] λαβέσθαι τοῦ εἰρημένου ἡμετέρου ἀμπ(ε)λ(ίου) μετὰ καὶ τῆς χωραφιαίας γῆς καὶ κατέχειν καὶ|[13] νέμεσθαι καὶ ποιεῖν ἐπ᾿αὐτὰ ὃ βούλοιο ὡς κύριος καὶ δεσπότης τούτων· ἤγ(ουν) πιπρά-|[14] σκειν, δωρεῖσθαι, ἀνταλλάττειν, θείοις ἀφιεροῦν ναοῖς, προικὶ καὶ λεγάταις παραπέ-|[15] μπειν καὶ ἁπλῶς εἰπεῖν κατὰ τὸ σοὶ αἱρετ(όν), ἤτοι δηλονότι παρὰ τῶν νόμων ἐ-|[16] φεῖται τοῖς δεσπόταις καὶ κυρίοις τῶν οἰκείων πραγμάτων τῇ ἐμφανείᾳ τοῦ πα-|[17] ρόντος ἡμετέρου γράμματος, οὐκ ἔχων τινὰ τῶν ἁπάντων ἐπὶ τούτοις κωλύ-|[18] σειν ἢ τὸ τυχὸν διενοχλήσειν σε, ὡς ἡμῶν τὸ ἀπὸ τοῦδε ἀποβαλ-λομένων, σοὶ|[19] δὲ καὶ τῷ μέρει ἀνατιθεμένων· (καὶ) ὁμολογοῦμ(εν) διὰ τοῦ παρόντος ἡμετέρου γρά-|[20] μματος ὡς βέβαια καὶ ἀμετακίνητα στέργωσι τὰ παρ᾿ἡμῶν νυνὶ πραττόμενα. Εἰ δ᾿ἴ-|[21] σως ὡς ἐκ μεταμελείας ἢ προφάσεώς τινος, εἰς ὑστεροβουλείας χωρηθείημ(εν)|[22] καὶ πειρασθείημ(εν) ἐκκινεῖν (καὶ) ἀνατρέπειν τὰ παρ᾿ἡμῶν πραττόμενα, σὺν τῷ ἀπο-|[23] διώκεσθαι ἡμᾶς ἀπράκτους ἀπὸ παντὸς ἐκκλησιαστικοῦ τε καὶ πολιτικοῦ δι-|[24] καστηρίου, ζημιοίμεθα καὶ πρὸς τὸ δημόσιον τὸ διπλάσιον τὸ τούτου τιμήματος.|[25] Χάριν γὰρ τούτου καὶ τὸ παρὸν ἡμέτερον ἐγεγόνει γράμμα, ἐνώπιον τῶν ἐντιμοτάτ(ων)|[26] ἀρχόντ(ων) τῶν μελλόντων ὑπογράψαι, τοῦ τε μεγάλου οἰκονόμου καὶ τοῦ σκευοφύλα-|[27] κος κ(ὺρ) ᾿Ιω(άνν)ου τοῦ Βλάχου καὶ ἐπεδόθη σοι εἰς ἀσφάλειαν καὶ βεβαίωσιν, μηνὶ Μαΐω,|[28] (ἰνδικτιῶνος) β΄, τοῦ ,ςω[ου]μβ[ου]΄ ἔτους †

|[29] † ῾Ο οἰκονόμος τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπόλ(εως) Σερρῶν Μα(νου)ὴλ διάκον(ος) ὁ Κουβαρ(ᾶς) †

|[30] † ῾Ο σκευοφύλαξ τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρ(ῶν) ᾿Ιω(άνν)ης ἱερεὺς ὁ Μοδηνό(ς) †

|[31] † ῾Ο σακελλίου τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρῶν Θεόδ(ω)ρο(ς) ἱερεὺς ὁ Τζεμτζέ(ας) †

57. p. 52-53 [113]janvier, ind.15, a.m.6854(sic)

Γράμμα (l. 9).

ἔγγραφος πρᾶσις (l. 11), πρατήριον (l. 12)

Contrat de vente entre Maria Philomatinè, d'une part, et Michel Synadènos, de l'autre, concernant sa maison dotale à deux étages avec son sous-sol (χαμαιγίον) avoisinant les maisons de l'acqéreur, de Constantin (fils ?) de Maroulinè et la rue, pour la somme de 30 onces de ducats.[114]

: Τοῦ Συναδηνοῦ διὰ τὸ ὀσπήτιον τοῦ ῾Ραβδᾶ †

Σιγ(νον)	Μαρια(ς)
τῆς Φι–	λωματιν(ης)

|[2]

: Ἐν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ῾Αγίου Πν(εύματο)ς, ἐγὼ ἡ τ(ὸν) τύπον τοῦ τιμίου καὶ ζωο-|[3] ποιοῦ στ(αυ)ροῦ σιγνογρα- φησασα ἑκουσίως, ἀβιάστως (καὶ) ἀμεταμελήτ(ως) πιπράσκω πρὸς σὲ|[4] κ(ὺρ) Μιχ(αὴλ) τ(ὸν) Συναδην(ὸν) (καὶ) πρὸς ἅπαν τὸ μέρος σου τὸ ἐκ προικὸς προσόν μοι οἴκημα|[5] ἀνωγαιοκάτωγον μετὰ τοῦ ἔμπροσθ(εν) αὐτοῦ χαμαιγίου, τὸ πλη(σίον) (καὶ) ἀνακοίνως|[6] τῶν οἰκημάτων σου καὶ Κων- (σταντίν)ου τῆς Μαρουλίν(ης) (καὶ) τῆς ὁδοῦ, εἰς δουκ(ᾶ)τ(α) οὐγγί(ας) λ΄. Διὰ τοῦτο|[7] ὀφείλεις ἀναλαβέσθαι τὸ δηλωθ(ὲν) οἴκημα καὶ κατέχειν καὶ νέμεσθαι ὡς κύριος|[8] τούτου, ἤτοι πωλ(εῖν), χαρίζειν, θείοις ναοῖς ἀφιε- ροῦν, προικὶ παραπέμπειν τῇ|[9] ἐμφανείᾳ τοῦ παρόντος γράμματος, μὴ εὑρίσκων παρά τινος τὴν τυχοῦσαν δι-|[10] ενόχλησιν. Εἰ δ᾽ἴσως εἰς ὑστε- ροβουλίας χωρήσω καὶ πειράσομαι ἀνατρέψαι τὴν παροῦσαν|[11] ἔγγραφον πρᾶσιν, ὅπως διόκωμαι ἀπὸ παντὸς δικαστηρίου ἄπρακτος, πρὸς τῷ (καὶ) αὐ-|[12] θις ἐρρῶσθαι τὸ παρ(ὸν) πρατήριον· ὃ καὶ ἐγράφη παρουσίᾳ κ(ὺρ)

113 Discordance entre les éléments de la date ; l'indiction 15 correspond à l'a.m. 6855 (=1347)

114 Sur le dossier de Michel Synadènos, cf le no 56 de notre édition.

Θεοδώρου τοῦ Γαλάτουλ(α),|[13] τοῦ αὐταδέλφου αὐτοῦ κ(ὺρ) Γεωργίου τοῦ Φιλομάτου καὶ Δημητρ(ίου) τοῦ Σχολάρη καὶ ἐπεδό-|[14] θη σοι τῷ ῥηθέντι Συναδηνῷ δι᾽ ἀσφάλειαν, μηνὶ ᾽Ιαννουαρίῳ, (ἰνδικτιῶνος) ιε΄, ἔτους ,ςωου νου δου΄ †

|[15] † ῾Ο πριμμικήρι(ος) τῶν ταβουλλαρί(ων) Σερρ(ῶν) ᾽Ιω(άννης) ὁ Συνα- δηνό(ς) †

---

58. p. 53-54

Πρατήριον (l. 31) [115]novembre, ind.9, a.m.6833(sic!)

Contrat mixte entre Michel Pélargos et sa famille, d'une part, et le monastère du Prodrome, de l'autre ; la première partie du contrat comprend la vente d'une terre d'une superficie de 300 modioi, située à Dani et avoisinant la route impériale, le terrain d'Analèpsis et le vieil établissement de bains, pour la somme de 36 nomismata d'or ; la seconde partie comprend la reconnaissance pars Pélargos d'avoir à tort vendu un terrain situé à Skokos, dont feue sa mère avait fait don au monastère, en acceptant de transmettre aux moines un autre terrain d'une superficie égale, avoisinant la terre achetée par eux.

† Πρατήριον τοῦ Πελαργοῦ †

Σίγ(νον)	Μιχ(αὴλ)	Σίγ(νον)	Θεοδώρ(ας)	Σίγ(νον)	᾽Αλεξίου
τοῦ Πε–	λαργοῦ	τῆς ὁμοζύ–	γου αὐτοῦ	τοῦ υἱοῦ	αὐτῶν †

|[2]

† ᾽Εν ὀνόματι τοῦ Π(ατ)ρ(ὸ)ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ῾Αγίου Πν(εύματο)ς, ἐγὼ Μιχ(αὴλ) ὁ Πελαργὸς σὺν ἅμα τῇ ὁμο-|[3] ζύγῳ μου καὶ τῷ υἱῷ ἡμῶν οἱ ἐνταῦθα σιγνογραφήσαντες τοὺς τύπους τοῦ τιμίου|[4] καὶ ζωοποιοῦ στ(αυ)ροῦ ἐπὶ τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον τῆς εἰλικρινοῦς (καὶ)|[5] ἀδιαβλήτου ἡμῶν πράσεως τῆς οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας, ἢ

115. Discordance entre les éléments de la date ; l'indiction 9 correspond à l'a.m. 6834, ce qui correspond à l'année 1325 pour notre document.

φόβου, ἢ δόλου|7 ἢ χλεύης, ἢ ἀπάτης, ἢ ῥαδιουργίας, ἢ ἄλλης τῆς οιασοῦν τῷ νόμῳ αἰτίας, ἀλλ' συμπροθυμίᾳ ἡμῶν πάσῃ, ὁλοψύχῳ βουλῇ καὶ θελήσει, πεπράκαμ(εν) τὴν χωρα-|8 φιαίαν ἡμῶν γῆν, τὴν περὶ τὸ Δεντν ἐξάμπελα, ὡσεὶ μοδίων τ΄, πλη(σίον) τῆς βασι-|9 λικῆς ὁδοῦ καὶ πλησίον τοῦ χωραφίου τῆς Ἀναλήψεως καὶ τοῦ παλαιοῦ λουτροῦ. Πεπράκα-|10 μ(εν) δὲ τὴν τοιαύτην γῆν πρὸς τὴν μονὴν τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου|11 εἰς (νομίσματ)α χρυσᾶ λϛ΄, ἅτινα (καὶ) ἀνελαβόμεθα διὰ χειρὸς τοῦ οἰκονόμου τῆς αὐτῆς μον(ῆς)|12 μοναχοῦ κ(ὺρ) Γεροντίου σῶα (καὶ) ἀνελλιπῆ, ἐνώπ(ιον) τοῦ μοναχοῦ κ(ὺρ) Θαλασσίου, κ(ὺρ)|13 Μαν(ουή)λ τοῦ γεωμέτρη, γαμβροῦ τοῦ Κλήμη, (καὶ) ἑτέρων. (Καὶ) ὀφείλουν οἱ μοναχοὶ τῆς τοι-|14 αύτης μονῆς παραλαβ(εῖν) τὴν εἰρημένην γῆν (καὶ) ἔχειν καὶ νέμεσθαι καὶ δεσπόζειν αὐτῆς|15 καθὼς καὶ παρ' ἡμῶν ἐνέμετο (καὶ) ἐδεσπόζετο, μὴ παρά τινος ἐμποδιζόμενοι ἢ ἐνο-|16 χλούμενοι ἐπὶ τῆς αὐτῆς νομῆς τε (καὶ) δεσποτεί(ας), ἐπ' ἀδείας τε ἔχειν ἐπ' αὐτὴν ποιεῖν|17 ὅσα καὶ βούληται, οἷον πωλ(εῖν), δωρεῖσθαι, ἀνταλλάττειν καὶ λεγάτοις παραπέμπειν|18 καὶ ἁπλῶς ποιεῖν ἐπ' αὐτῆς ὅσα οἱ θεῖοι (καὶ) φιλευσεβεῖς νόμοι τοὺς τῶν πραγμάτων δε-|19 σπότας ποιεῖν ἐγκελεύονται, ἡμῶν δὲ ἀποβαλλομένων (καὶ) πάντων τοῦ μέρους ἡμῶν|20 καὶ κληρο-νόμων διαδόχων (καὶ) πάντων ἡμῶν τῶν διακατόχων. Εἰ δὲ μὴ οὕτως ποι-|21 ῶμ(εν), ἀλλ' εἰς ὑστεροβουλίας καὶ προφάσεις χωρήσωμ(εν), στοιχῶμ(εν) τοῦ μὴ εἰσακούειν|22 ἡμᾶς ἐφ' οἷς ἂν ἔχωμ(εν) λέγειν, ἀλλὰ σὺν τῷ ἐκδι-ώκειν ἡμᾶς ἀπὸ παντὸς δικαστηρίου|23 ἀπράκτους καὶ ἀνενεργήτους καὶ παρέσχομ(εν) καὶ τὸ τίμημα εἰς τὸ διπλοῦν. Ἐγράφη |24 ταῦτα παρ' ἐμοῦ Μιχ(αὴλ) ἱερέως καὶ ταβουλλαρίου τῆς ἁγιωτάτ(ης) μ(ητ)ροπόλ(εως) Σερρ(ῶν), τοῦ τε-|25 κνοδότου. Ἐγὼ Μιχ(αὴλ) ὁ Πελαργὸς ὁμολογῶ ὅτι εἰς τὴν θανήν της ἡ μή(τη)ρ μου δέδωκε|26 πρὸς τὴν μονὴν τοῦ τιμίου Προ-δρόμου, χάριν καταθεσίματος αὐτῆς, χωράφιν εἰς τὸν|27 Σκοκὸν (καὶ) ἐπώλησα αὐτό· ἀντὶ δὲ ἐκείνου δέδωκα ἐγὼ ἕτερον χωράφιν ἰσό-|28 ποσον πλη(σίον) τῆς αὐτῆς γῆς, ἧς ἠγόρασαν οἱ μοναχοὶ ἀπ' ἐμοῦ. Τοῦ ὕφους

ἑρμη-|29 νευθέντος παρὰ τοῦ ἐντιμοτ(ά)τ(ου) χαρτοφύλακος (καὶ) ἱεροδια-κόνου κ(ὺρ) Θεοδώρου τοῦ Εἰρηνι-|30 κοῦ μηνὶ Νοεμβρίῳ, (ἰνδικτιῶνος) θης΄, τοῦ ͵ϛωουλγου΄ ἔτους †

|31 †'Ὁ ταβουλλάριος τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπό)λ(εως) Σερρῶν Μιχ(αὴλ) ἱερεὺς ὁ τεκνοδότης τὸ παρ(ὸν) πρατ(ή)ρ(ιον) γράψ(ας) ὑπ(έ)γρ(αψα) †

---

59. p. 54 1336

Γράμμα (l. 20) **[116]mars, ind.4 (XIVe siècle)**

Convention constituant deux rentes viagères (ἀδελφᾶτα) entre le monastère du Prodrome, d'une part, et Jean Sarakènos, de l'autre ; conformément aux termes de cette convention, Joachim, métropolite de Zichna, et les moines acceptent que Sarakènos devienne membre du monastère, en gardant le droit de décider le moment de son entrée au monastère ; d'autre part, Sarakènos, avant son entrée au monastère, cède à celui-ci une partie de ses biens (le domaine de Léstianè, une terre à Modion, un char attelé de bœufs avec tout son harnachement et un cheval), constituant la première rente viagère, la deuxième se référant à la période qui suivra son entrée au monastère, conformément à laquelle Sarakènos s'engage à céder une autre partie de ses biens (ses bâtiments avec leurs alentours) ; après sa mort, le reste de ses biens reviendra au monastère.

† Προσένεξις τοῦ Σαρακηνοῦ †

---

116. Christophore note entre parenthèses la date de 1321 (cf. Tables des matières, p. 11), ce qui me paraît juste, car il est certain que cette convention a été conclue entre les années 1321, date des deux chrysobulles des Andronics (cf. les nos 187 et 190 de notre édition) dans lesquels les biens transmis par Sarakènos ne sont pas inclus, et 1332, date de la démission de Joachim du trône métropolitain (cf. A. Guillou, p.p. 8 11 et 26) ; entre ces deux dates l'unique 4ème indiction correspond à l'année 1321 ; en outre, la terre donnée au monastère par Sarakènos est mentionnée dans l'acte no 53 (1339), l. 8-9 de notre edition, dans le chrysobulle de Stefan Dušan de 1345 (cf. A. Guillou, no 39, p. 124-131, l 49), mention est faite des biens transmis au monastère par feu Sarakènos et, finalement, dans le praktikon no 166 (1353-1355), l 65 de notre edition.

† Ἐπεὶ ἠρετίσατο καὶ ἠθέλησε(ν) ὁ οἰκεῖος τῷ κραταιῷ (καὶ) ἁγ(ίῳ) ἡμῶν αὐθέντ(ῃ) (καὶ) βασιλεῖ σε(βαστὸ)ς Ἰω(άννη)ς ὁ Σαρακηνὸς|2 ἵνα (καὶ) αὐτὸς ἀδελφὸς ἡ ἐν τῇ καθ' ἡμᾶς σε(βασμί)α μονῇ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου (καὶ) Βαπτιστοῦ, |3 ἤδη κατὰ τὴν θεάρεστον ζήτησιν αὐτοῦ δέχε(ται) αὐτ(ὸν) ἡ ταπεινότ(ης) ἡμῶν, κοινῇ γνώμῃ καὶ θελήσει καὶ τ(ῶν)|4 ἐν τῇ διαληφθείσῃ μονῇ ἐνασκουμένων ἁπάντων τιμιωτάτων ἱερομονάχων (καὶ) μοναχῶν|5 ἔχειν δὲ κατὰ μ(ὲν) τὸ νῦν, ἔχον ἔτι καθήμενος ἐν τῷ ἰδίῳ οἴκῳ καὶ κατὰ κοσμικοὺς διάγων,|6 ἀδέλφατον α', μέχρις ὅτου ὡς εἴρητ(αι) ἐν λαϊκοῖς τυγχάν(ων) κάθητ(αι) ἐν τῷ ἰδίῳ οἴκῳ· μετὰ (δὲ)|7 τὸ ἥξειν σὺν Θ(εῷ) εἰς τὴν μονὴν (καὶ) ἐς μοναχοὺς τελέσειν, ἔχειν αὐτ(ὸν) τάττομ(εν) ἀδέλφατα β',|8 ἐντὸς δὲ τούτων τῶν δύο ἀδελφάτων ἔχειν δηλονότι μεθ' ἑαυτοῦ (καὶ) ὑπουργὸν ὁποῖον|9 χρήζει, εἴτε ἰδικὸν αὐτοῦ, εἴτε ἀδε(λφὸν) ἀπὸ τῆς μονῆς. Ταῦτα συμπεφώνηται ἡμῖν πρὸ(ς) αὐτ(όν).|10 ἐπεὶ (καὶ) αὐτὸς τὸ νῦν μ(ὲν) ἔχον δέδωκε πρὸς τὴν μονὴν ζευγηλατεῖον αὐτοῦ, τὸ εἰς Λέστιανην,|11 ἅπαν μετὰ τοῦ περιβολίου, πλὴν γῆς στρεμ(μάτ)ος α' (ἥμισυ) καθίσματος, ἕνεκά τινων ἰδικ(ῶν) αὐτοῦ,|12 μετὰ δὲ θάνατον αὐτοῦ ἔσται καὶ ἡ τοιαύτη γῆ τῆς μονῆς· δέδωκε νῦν καὶ τὴν γῆν, ὅση|13 ἔχει εἰς τὸ Μόδιον, περὶ ἣν ἔχει ὄχλησίν τινα μετὰ τοῦ υἱοῦ τοῦ Ἀργύρη ἐκείνου, ὑποσχό-|14 μενος ἀντικριθῆναι αὐτῷ καὶ ἀποκαταστῆσαι αὐτὴν πάντῃ ἀνενόχλητον· ζ(ευ)γ(ά)ρ(ιον) μετὰ|15 ἁμάξης (καὶ) τῆς ἄλλης ἁπάσης ἀκολουθί(ας) αὐτοῦ (καὶ) ἄλογον· ταῦτα μ(ὲν) σὺν τὴν σήμερον δέδωκεν|16 Μετὰ δὲ τὸ ἥξειν εἰς τὴν μονὴν ἐκδίδωσι (καὶ) τὰ οἰκήματα αὐτοῦ, μετὰ πάσης τῆς νομῆς καὶ πε-|17 ριοχῆς αὐτῶν, ἐν οἷς κατοικεῖ, ὅσα (καὶ) οἷά εἰσι. Τὴν δ' ἄλλην ὕλην τὴν εὑρεθεῖσαν αὐτοῦ|18 ἵνα ἔχῃ αὐτὴν εἰς παντοίαν (καὶ) πᾶσαν αὐτοῦ κυβέρνησιν (καὶ) ἀνάπαυσιν μέχρι ἂν ζῇ· μετὰ δὲ|19 τὸ ἀποβιῶναι, ἔχει (καὶ) ταύτην ἡ μονή. Ταῦτα συμφωνοῦμ(εν) αὐτῷ ἡμεῖς (καὶ) ἡμῖν αὐτός|20 Τούτου γὰρ ἀσφαλείας ἕνεκα (καὶ) βεβαίου (καὶ) τὸ παρὸν ἡμῶν γράμμα ἐξεγένετο † μηνὶ Μαρτίῳ, (ἰνδικτιῶνος) δ' †

|21 † Ὁ Ζιχνῶν Ἰωακείμ † Θεόληπτος ἱερομόν(αχ)(ος) (καὶ) προηγούμενος † Γρηγόρι(ος) μοναχὸς (καὶ) μέγ(ας) οἰκονόμος † |22 † Νίφων ἱερομόναχ(ος) † Νεόφυτος ἱερομόναχος † Ὁ χαρτοφύλαξ τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπόλ(εως) |23 Σερρῶν Νικόλ(αος) διάκονος ὁ Ἀβαλάντης † † Ὁ σακελλίου τῆς ἁγιωτ(ά)τ(ης) μ(ητ)ροπ(ό)λ(εως) Σερρῶν|24 Μιχ(αὴλ) διάκονος ὁ Καλόρριζος †

---

60. p. 55
Διάταξις (l. 27), ἔγγραφος διαθήκη (l. 28) avril, ind.2, a.m.6842(=1334)

Testament de Philippe Arabantênos (moine Philêmôn) accompagné d'un inventaire détaillé de ses biens et de ses dettes ; en vertu de ce testament, il lègue au monastère du Prodrome la moitié de son domaine sis au lieu-dit Pêgaditzia, à sa femme Anna l'autre moitié, ainsi que ses dettess avec le reste de ses biens à l'exception d'une vigne située au lieu-dit Trébésiniôtika, qu'il lègue à son neveu Mélissênos.

† Προσένεξις τοῦ Ἀραβαντιν(οῦ) †

Σίγ(νον)	Φιλίππου τοῦ Ἀραβαντηνοῦ
τοῦ διὰ τοῦ θείου	(καὶ) ἀγγελικοῦ σχήματος μετονομασθέντος Φιλήμον(ος) (μον)αχ(οῦ) †

